Ἡδέως δ' ἂν καὶ ἐροίμην σε, τὰ τοσαῦτα βιβλία ἔχων τί 27
μάλιστα ἀναγιγνώσκεις αὐτῶν; τὰ Πλάτωνος; τὰ Ἀντισθένους;
τὰ Ἀρχιλόχου; τὰ Ἱππώνακτος; ἢ τούτων μὲν ὑπερφρονεῖς,
ῥήτορες δὲ μάλιστά σοι [τούτων] διὰ χειρός; εἰπέ μοι, καὶ
Αἰσχίνου τὸν κατὰ Τιμάρχου λόγον ἀναγιγνώσκεις; ἢ ἐκεῖνά γε
πάντα οἶσθα καὶ γιγνώσκεις αὐτῶν ἕκαστον, τὸν δὲ Ἀριστοφάνην
καὶ τὸν Εὔπολιν ὑποδέδυκας; ἀνέγνως καὶ τοὺς Βάπτας, τὸ δρᾶμα
ὅλον; εἶτ' οὐδέν σου τἀκεῖ καθίκετο, οὐδ' ἠρυθρίασας γνωρίσας
αὐτά; τοῦτο γοῦν καὶ μάλιστα θαυμάσειεν ἄν τις, τίνα ποτὲ
ψυχὴν ἔχων ἅπτῃ τῶν βιβλιων, ὁποίαις αὐτὰ χερσὶν ἀνελίττεις.
πότε δὲ ἀναγιγνώσκεις; μεθ' ἡμέραν; ἀλλ' οὐδεὶς ἑώρακε τοῦτο
ποιοῦντα. ἀλλὰ νύκτωρ; πότερον ἐπιτεταγμένος ἤδη ἐκείνοις ἢ
πρὸ τῶν λόγων; ἀλλὰ πρὸς Κότυος μηκέτι μὴ τολμήσῃς τοιοῦτο 28
μηδέν, ἄφες δὲ τὰ βιβλία καὶ μόνα ἐργάζου τὰ σαυτοῦ. καίτοι
ἐχρῆν μηκέτι μηδὲ ἐκεῖνα, αἰδεσθῆναι δὲ τὴν τοῦ Εὐριπίδου
Φαίδραν καὶ ὑπὲρ τῶν γυναικῶν ἀγανακτοῦσαν καὶ λέγουσαν

οὐδὲ σκότον φρίσσουσι τὸν συνεργάτην
τέρεμνά τ' οἴκων μή ποτε φθογγὴν ἀφῇ.

εἰ δὲ πάντως ἐμμένειν τῇ ὁμοίᾳ νόσῳ διέγνωσται, ἴθι, ὠνοῦ μὲν
βιβλία καὶ οἴκοι κατακλείσας ἔχε καὶ καρποῦ τὴν δόξαν τῶν
κτημάτων. ἱκανόν σοι καὶ τοῦτο. προσάψῃ δε μηδέποτε μηδὲ
ἀναγνῷς μηδὲ ὑπαγάγῃς τῇ γλώττῃ παλαιῶν ἀνδρῶν λόγους καὶ
ποιήματα μηδὲν δεινόν σε εἰργασμένα.

Οἶδα ὡς μάτην ταῦτά μοι λελήρηται καὶ κατὰ τὴν παροιμίαν
Αἰθίοπα σμήχειν ἐπιχειρῶ· σὺ γὰρ ὠνήσῃ καὶ χρήσῃ εἰς οὐδὲν καὶ
καταγελασθήσῃ πρὸς τῶν πεπαιδευμένων, οἷς ἀπόχρη ὠφελεῖσθαι
οὐκ ἐκ τοῦ κάλλους τῶν βιβλίων οὐδ' ἐκ τῆς πολυτελείας αὐτῶν,
ἀλλ' ἐκ τῆς φωνῆς καὶ τῆς γνώμης τῶν γεγραφότων. σὺ δὲ οἴει 29
θεραπεύσειν τὴν ἀπαιδευσίαν καὶ ἐπικαλύψειν τῇ δόξῃ ταύτῃ καὶ
ἐκπλήξειν τῷ πλήθει τῶν βιβλίων, οὐκ εἰδὼς ὅτι καὶ οἱ ἀμαθέ-
στατοι τῶν ἰατρῶν τὸ αὐτὸ σοὶ ποιοῦσιν, ἐλεφαντίνους νάρθηκας